ἀκοὴ ἐμποδίζεταί τε καὶ οὐκ ἐμποδίζεται ἐκ τοῦ κωλύματος τοῦ ὀργάνου, ἐν τῷ· Διὰ ταῦτα δὲ καὶ ἐν ὕδατι. Φησὶ τοίνυν, πρῶτον, ὅτι ἡ ἀκοὴ συμφυής ἐστι τῷ ἀέρι οὕτως ὥστε, καθάπερ τὸ ὑγρὸν καὶ ὑδαρῶδες ἁρμόζει τῷ ὀργάνῳ τῆς ὄψεως, οὕτω καὶ τὸν ἀέρα προσήκειν τῷ ὀργάνῳ τῆς ἀκοῆς, διότι, ἂν ἀποδοθῇ ὁ ἀὴρ τῷ ὀργάνῳ τῆς ἀκοῆς, ἕπεται τὴν αὐτὴν δύναμιν τοῦ ψόφου εἶναι ἐν τῷ ἔξω κινουμένῳ ἀέρι καὶ ἐν τῷ ἀέρι τῷ ἔνδοθεν κινουμένῳ, καὶ ὅς ἐστιν ὄργανον τῆς ἀκοῆς· καὶ διὰ τοῦτο τὸ ζῷον οὐκ ἀκούει ἐν ᾡτινιοῦν μέρει τοῦ σώματος αὐτοῦ, οὐδὲ ὁ ψοφῶν ἀὴρ διέρχεται πᾶν μέρος τοῦ ἐμψύχου σώματος, διότι τὸ ἔμψυχον οὐκ ἔχει ἐν παντὶ μέρει αὐτοῦ ἀέρα ὥστε πᾶν μέρος αὐτοῦ δύνασθαι εἶναι κινητὸν ὑπὸ τοῦ ψόφου, ὥσπερ τὸ ἔμψυχον ἔχει τὸ ὑδαρῶδες ὑγρὸν οὐ πανταχοῦ, ἀλλ᾽ ἔν τινι μέρει διωρισμένῳ, δηλονότι ἐν τῇ κόρῃ.

Αὐτὸ μὲν δή. Ἐνταῦθα, δεύτερον, δείκνυσι πῶς ἔχει ὁ ἀὴρ ὁ ἀποδιδόμενος τῇ αἰσθήσει τῆς ἀκοῆς, καὶ φησὶν ὅτι, ἐπεὶ πᾶν τὸ ψόφον ἔχον ἐστὶ πεφυκὸς ἀνθίστασθαι τῷ πλήττοντι, φανερόν ἐστιν ὅτι ὁ ἀὴρ καθαυτὸν οὐκ ἔχει ψόφον, διότι καθ᾽ αὑτὸν οὐ πέφυκεν ἀνθίστασθαι τῷ τύπτοντι, ἀλλὰ ῥᾷστα ὑπείκει καὶ ἐνδίδωσι· κωλύεται γὰρ ἡ θρύψις αὐτοῦ καὶ ὁ ῥοῦς ὑπό τινος σώματος στερεοῦ, καὶ διὰ τοῦτο, ὁπόταν τοῦτο συμβῇ, ἡ κίνησις τοῦ ἀέρος ἀποδίδωσι ψόφον. Εἴρηται γὰρ ὅτι πρὸς τὴν τοῦ ψόφου γένεσιν δεῖ γίνεσθαι τύψιν δύο στερεῶν πρὸς ἄλληλα καὶ πρὸς τὸν ἀέρα· ἀλλ᾽ ὁ ἀήρ, ὅς ἐστι συμφυὴς τῇ ἀκοῇ ἐγκατῳκοδόμηται, τουτέστι βεβαίως καὶ παγίως διατέθειται ἐν τῇ ἀκοῇ μετὰ ταύτης τῆς ἰδιότητος, ἵνα δηλονότι ἀκίνητος ᾖ, ὡς ἂν δύνηται τὸ ζῷον αἰσθάνεσθαι ἀκριβῶς πασῶν τῶν διαφορῶν τῆς κινήσεως. Ὥσπερ γὰρ τὸ ὑδαρῶδες ὑγρόν, ὅπερ ἐστὶν ἐν τῇ κόρῃ παντὸς ἐστέρηται χρώματος, ὡς ἂν δύναιτο γινώσκειν πάσας τὰς τῶν χρωμάτων διαφοράς, οὕτω δεῖ καὶ τὸν ἀέρα, τὸν ἐναπειλημμένον τῷ ὀργάνῳ τῆς ἀκοῆς, στερεῖσθαι πάσης κινήσεως πρὸς τὸ διακρίνειν δύνασθαι πάσας τὰς τῶν ψόφων διαφοράς.

Διὰ ταῦτα δέ. Ἐνταῦθα διορίζεται πῶς ἐμποδίζεται ἡ ἀκοὴ τῷ ἐμποδίσματι τοῦ ὀργάνου. Τίθησι γὰρ δύο ἐμποδίσματα κατὰ δύο, ἅπερ εἶπεν ἀναγκαῖα πρὸς τὸ ὄργανον, τῆς ἀκοῆς, ὧν τὸ πρῶτον ἐστίν, ὅτι ἔστιν ἐκεῖ ἀήρ· τὸ δεύτερον, ὅτι ὁ ἀὴρ ὁ ἐκεῖ ἐστὶν ἀκίνητος. Πρῶτον τοίνυν κώλυμά ἐστιν ἐκ τοῦ τὸν ἀέρα αὐτὸν διαφθείρεσθαι, καὶ διὰ τοῦτο φησὶν ὅτι ἐκ τῶν προειρημένων φανερόν ἐστιν, ὅτι ἐν τῷ ὕδατι ἀκούομεν, ἂν μόνον μὴ εἰσέρχηται τὸ ὕδωρ πρὸς αὐτὸν τὸν συμφυῆ ἀέρα, ὃν εἶπεν ἐγκατῳκοδομῆσθαι ταῖς ἀκοαῖς, ἀλλὰ μηδὲ εἰς αὐτὴν εἰσέρχηται τὴν
f. 312v ἀκοήν, | λέγω δὲ τὸ οὖς, ὃ δυνατόν ἐστι διὰ τὰς ἕλικας, αἳ κωλύουσι τὴν εἰς τὸ οὖς τοῦ ὕδατος εἴσοδον. Ἂν μέντοι γε τοῦτο συμβῇ, τὸ τὸ ὕδωρ δηλονότι εἰσέρχεσθαι εἰς αὐτὸν τὸν συμφυῆ ἀέρα, οὐκ ἀκούει τὸ ζῷον διὰ τὴν φθορὰν τοῦ ἀέρος, ὅς ἐστιν ἀναγκαῖος πρὸς τὸ ἀκούειν, ὥσπερ

κἂν διαφθαρῇ τὸ ὑγρὸν τῆς κόρης, ἐμβαλομένου τινὸς ἔξωθεν, ἐμποδίζεται ἡ ὄψις. Καὶ οὐ μόνον ἐκ τοῦ σώματος τοῦ ἀέρος ἐμποδίζεται ἡ ἀκοή, ἀλλὰ κἂν ἡ μῆνιγξ, τουτέστι τὸ δέρμα τὸ περικυκλοῦν τὸν ἀέρα, ἢ μέρος τι συνημμένον κάμῃ, ὥσπερ καὶ ἡ ὄψις ἐμποδίζεται οὐ μόνον ἔξωθέν τινος ἐπεισιόντος καὶ φθείροντος τὴν κόρην, ἀλλὰ κἂν ἐμποδισθῇ τὸ δέρμα τῆς κόρης τὸ συγκαλύπτον τὴν ὑδαρώδη τῆς κόρης ὑγρότητα. Τινὰ δὲ βιβλία ἔχουσιν, ὅτι ἐν ὕδατι ἀκούομεν, ὅπερ ἐστὶν ἐναντίον τῷ εἰρημένῳ, ὅτι ἀκούομεν ἐν ἀέρι καὶ ὕδατι, καὶ ἐναντίον ᾧ φησιν Ἀριστοτέλης ἐν τῷ πέμπτῳ τῶν περὶ ζῴων ἱστορίας, ὅτι τὰ ζῷα ἀκούουσιν ἐν τῷ ὕδατι. Εἰ γὰρ καὶ τὸ ὕδωρ οὐκ εἰσέρχεται εἰς τὸν ἐνδότερον ἀέρα, δύναται μέντοι κινεῖν αὐτόν, καὶ οὕτως οἷον ἐναποχαράττειν αὐτῷ τὸ εἶδος τοῦ ψόφου.

Ἀλλὰ καὶ σημεῖον. Ἐνταῦθα τίθησι τὸ δεύτερον κώλυμα τῆς ἀκοῆς. Καὶ τοῦτο τὸ κώλυμα πρόεισιν ἐκ τοῦ τὸν ἐναπειλημμένον τοῖς ὠσὶν ἀέρα μὴ εἶναι ἀκίνητον· ὅθεν φησὶν ὅτι σημεῖον δι᾽ οὗ δυνατὸν διακρίνεσθαι πότερον ἀκούει τις καλῶς ἢ μή, τὸ ἀκούειν ἀεὶ ἠχῆς τινος καὶ ψόφου ἐν τοῖς ὠσίν, ὥσπερ ἀκούομεν, ὅταν ἐπιθῇ τις τῷ ἀέρι τὸ κέρας διὰ τὴν κίνησιν τοῦ ἐν τῷ κέρατι ἀέρος. Ὅταν γὰρ τοῦτο συμβαίνῃ, ὁ ἄνθρωπος οὐκ ἔχει καλὴν ἀκοήν, διότι ὁ ἀὴρ ἐν τοῖς ὠσὶ τοῦ οὕτως αἰσθανομένου τοῦ ἤχου ἀεὶ κινεῖται ἰδίᾳ τινὶ κινήσει. Ἀλλ᾽ ἀπὸ τοῦ ὀργάνου τῆς ἀκοῆς ὁ ἦχος ὀφείλει εἶναι ἐξωτερικὸς καὶ οὐκ οἰκεῖος, ὥσπερ τὸ τῆς ὄψεως ὄργανον δέχεται ἐξωτερικὸν χρῶμα καὶ οὐκ ἔχει οἰκεῖον. Εἰ δὲ ἔχει οἰκεῖον, ἐμποδίζεται ἡ ὅρασις· ὁμοίως κἂν ὁ ἀήρ, ὁ ἐν τοῖς ὠσίν, ἔχῃ ἰδίαν κίνησιν καὶ ψόφον, ἐμποδίζεται ἡ ἀκοή. Διότι τοίνυν ἡ ἀκοὴ γίνεται διὰ τοῦ ἀέρος, διὰ τοῦτο τινὲς πιστεύοντες τὸν ἀέρα εἶναι κενόν, λέγουσιν ἡμᾶς ἀκούειν τῷ κενῷ καὶ ἠχοῦντι, διότι δηλονότι τὸ μέρος ᾧ ἀκούομεν, ἔχει ἀέρα ὡρισμένον ἤγουν ἀκίνητον καὶ διακεκριμένον τοῦ ἔξω.

Πότερον δέ. Ἐνταῦθα κινεῖ ἀπορίαν τινὰ περὶ τὴν τοῦ ψόφου γένεσιν, πότερον δηλονότι τὸ ποιητικὸν αἴτιον τοῦ ψόφου τὸ τυπτόμενον ἐστίν, ἢ τὸ τύπτον· καὶ διορίζεται ὅτι ἑκάτερον αἴτιον ἐστίν, ἀλλὰ ἄλλον καὶ ἄλλον τρόπον· διότι γὰρ ὁ ψόφος ἀκολουθεῖ τῇ κινήσει, ἀνάγκη ἐστίν, ὥσπερ τι ὑπάρχει αἴτιον ποιητικὸν τῆς κινήσεως, οὕτως εἶναι καὶ τοῦ ψόφου αἰτίαν· γεννᾶται δὲ ὁ ψόφος ἐκ τῆς κινήσεως, ᾗ τὸ τύπτον διὰ τὴν ἀντίστασιν ἀφάλλεται τοῦ τυπτομένου, δηλονότι κατ᾽ ἐκεῖνον τὸν τρόπον καθ᾽ ὃν τὰ ἀφαλλόμενα κινοῦνται ἀπὸ τῶν λείων καὶ σκληρῶν, ὅταν τις αὐτὰ κρούσῃ. Φανερὸν γάρ ἐστιν, ὅτι καὶ αὐτὸ τὸ τύπτον κινεῖ, καὶ πάλιν τὸ τυπτόμενον, καθόσον ποιεῖ ἀφάλλεσθαι τὸ τύπτον, καὶ οὕτως ἑκάτερόν ἐστιν αἰτία ποιητικὴ τῆς κινήσεως. Καὶ διότι ἐν τῇ γενέσει τοῦ ψόφου

---

1, 5, 6 etc. *κόρρης* B

Ε.Υ.Δ της Ε.Τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

ἀνάγκη ἐστὶ γίνεσθαί τινα ἀποπήδησιν ἐκ τῆς ἀντιστάσεως τοῦ τυπτομένου, οὐ πᾶν τὸ τυπτόμενον καὶ τύπτον ἠχεῖ καὶ ψοφεῖ, ὥσπερ καὶ πρότερον εἴρηται, οἷον εἰ βελόνη παταχθείη βελόνῃ, οὐ γίνεται ψόφος· ἀλλὰ πρὸς τὸ γεννᾶσθαι τὸν ψόφον δεῖ τὸ τυπτόμενον ὁμαλὸν εἶναι, τουτέστιν οὕτω διατεθειμένον, ὥστε τὸν ἀέρα εὐθὺς ἀποπηδᾶν ἐκ τῆς ἀντιστάσεως αὐτοῦ καὶ κινεῖσθαι, ὡς ἂν ὁ ψόφος ἐκ τῆς τοιαύτης κινήσεως συνεχίζηται.

Αἱ δὲ διαφοραί. Ἐνταῦθα διορίζεται περὶ τῶν διαφορῶν τῶν ψόφων· καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, δείκνυσι πῶς ἂν καταλαμβάνοιντο· δεύτερον, πῶς ἂν ὀνομάζοιντο, ἐν τῷ· Ταῦτα δὲ λέγεται. Λέγεται τοίνυν πρῶτον, ὅτι τὰ διάφορα ψοφοῦντα ποιοῦσι διαφόρους ψόφους. Ἀλλ' αἱ τοιαῦται διαφοραὶ τῶν ψοφούντων, καθὸ πεφύκασι ποιεῖν
f. 313 διαφόρους ψόφους, οὐ φανεροῦνται, | ὅτε ἐστὶν ἐν δυνάμει ὁ ψόφος, ἀλλ' ὅτε μόνον ἐνεργείᾳ ἐστίν. Ὥσπερ γὰρ οὐχ ὁρῶνται τὰ χρώματα χωρὶς τοῦ φωτός, οὕτως οὐ καταλαμβάνεται τὸ ὀξὺ καὶ τὸ βαρὺ ἐν τοῖς πράγμασι τοῖς ἠχητικοῖς, ἂν μὴ ἐνεργείᾳ ὁ ψόφος γένηται.

Ταῦτα δὲ λέγονται. Ἐνταῦθα δείκνυσι πῶς ἂν ὀνομάζοιντο αἱ τῶν ψόφων διαφοραί, καὶ περὶ τοῦτο ποιεῖ τέσσαρα· πρῶτον, δείκνυσι πόθεν λαμβάνονται τὰ ὀνόματα τῶν ψόφων· δεύτερον, τίθησι τοὺς λόγους τῶν ὀνομάτων, ἐν τῷ· Τὸ μὲν γὰρ ὀξύ· τρίτον, δείκνυσι πῶς ἔχει τὸ ὀξὺ καὶ τὸ βαρὺ ἐν τοῖς ψόφοις πρὸς τὸ ταχὺ καὶ τὸ βραδὺ ἐν ταῖς κινήσεσιν, ἐν τῷ· Οὔτε δή· τέταρτον, ἐξομοιοῖ τὰς διαφορὰς τοῦ ψόφου ταῖς ἁπταῖς ποιότησιν, ἀφ' ὧν ὀνομάζονται, ἐν τῷ· Καὶ ἔοικεν ἀνάλογον. Φησὶ τοίνυν ὅτι λαμβάνονται κατὰ μεταφορὰν ἀπὸ τῶν ἁπτῶν ποιοτήτων· φανερὸν γάρ ἐστιν, ὅτι τὸ ὀξὺ καὶ βαρὺ ἐν ταῖς ποιότησι ταῖς ἁπταῖς ἀριθμοῦνται. Εἶτα τίθησι τοὺς λόγους τῶν ὀνομάτων λέγων, ὅτι ὀξὺς ψόφος ἐστὶν ὁ κινῶν ἐπὶ πολὺ τὴν αἴσθησιν τῆς ἀκοῆς ἐν ὀλίγῳ χρόνῳ, βαρὺς δὲ ἦχος ἐστὶν ὁ ἐν πολλῷ χρόνῳ ἧττον κινῶν. Διότι δὲ οἱ προειρημένοι λόγοι δοκοῦσιν εἶναι τοῦ ταχέος καὶ βραδέος· ταχὺς γάρ ἐστιν ὁ ἐν ὀλίγῳ χρόνῳ πολὺ κινούμενος, βραδὺς δὲ ὁ ἐν πολλῷ χρόνῳ ὀλίγον· δείκνυσιν ἐνταῦθα, τρίτον, πῶς ἔχει τὸ ὀξὺ καὶ βαρὺ ἐν τοῖς ψόφοις πρὸς τὸ ταχὺ καὶ βραδὺ ἐν ταῖς κινήσεσι, καὶ φησὶν ὅτι τὸ ταχὺ οὐκ ἔστι ταὐτὸν ὅπερ τὸ ὀξύ, οὐδὲ τὸ βαρύ, ἐν τοῖς ψόφοις, ἔστι ταὐτὸν ὅπερ τὸ βραδύ, ὥσπερ οὐδὲ ὁ ψόφος, οὗ διαφοραὶ εἰσὶ τὸ βαρὺ καὶ ὀξύ, ἔστι τὸ αὐτὸ τῇ κινήσει, ἧς διαφοραί εἰσι τὸ ταχὺ καὶ βραδύ. Ἀλλ' ὥσπερ ἡ κίνησίς ἐστιν αἰτία τοῦ ψόφου, οὕτω καὶ ἡ ταχύτης τῆς κινήσεως ἐστὶν αἰτία τοῦ ὀξέος ψόφου, καὶ ἡ βραδύτης τῆς κινήσεως, αἴτιον τοῦ βαρέος. Ἀλλὰ τοῦτο δεῖ νοεῖν, ὅταν ὁ ψόφος γίνηται ὑπὸ μιᾶς κινήσεως· ὅταν δὲ

---

29 τοῦ avant βραδέος add B

Ε.Υ.Δ της Κ.Π.Ι ΙΩΑΝΝΙΝΑ 2006

γίνηται ἐκ πλειόνων κινήσεων, ἡ συνέχεια τῶν κινήσεων ἐστὶν αἰτία τοῦ ὀξέος ἤχου, καὶ ἡ ἀραιότης τοῦ βαρέος ψόφου αἰτία καθέστηκεν, ὥς φησιν ὁ Βοήτιος ἐν τῇ μουσικῇ. Ὅθεν καὶ ἡ μᾶλλον ταθεῖσα χορδὴ ὀξύτερον ψοφεῖ, διότι ἐκ μιᾶς τύψεως κινεῖται συνεχέστερον. Ταῦτα εἰπὼν ἐξομοιοῖ τὰς τοῦ ψόφου διαφορὰς ταῖς ἁπταῖς ποιότησιν, ἀφ' ὧν ὀνομάζονται, καὶ φησὶν ὅτι τὰ περὶ τὴν ἁφὴν ἔχουσιν ἀναλογίαν καὶ ὁμοιότητα πρὸς τὸ ἐν τοῖς ψόφοις ὀξὺ καὶ ἀμβλύ, διότι ὁ ὀξὺς ψόφος ὡσανεὶ νύττει τὴν ἀκοήν, ἐν ὀλίγῳ χρόνῳ κινῶν αὐτήν· ὁ δὲ ἀμβλὺς οἷον ὠθεῖ διὰ τὸ ἐν πολλῷ χρόνῳ κινεῖν· ὅθεν τὸ ἓν αὐτῶν συμβαίνει τῇ ταχύτητι τῆς κινήσεως, τὸ δὲ λοιπὸν τῇ βραδύτητι. Ἔσχατον δὲ συμπεραίνει, ὅτι οὕτω μὲν διώρισται περὶ τοῦ ψόφου.

## Leçon XVIII.

Ἡ δὲ φωνὴ ψόφος τίς ἐστιν. Διορισάμενος ὁ Φιλόσοφος περὶ τοῦ ψόφου, ἐνταῦθα διορίζεται περὶ τῆς φωνῆς, ἥτις ἐστὶν εἶδος τοῦ ψόφου, καὶ διαιρεῖται εἰς δύο μέρη· πρῶτον, προτίθησι τινὰ ἀναγκαῖα πρὸς τὸν ὁρισμὸν τῆς φωνῆς· δεύτερον, διορίζεται τὴν φωνήν, ἐν τῷ· Ὥστε ἡ πληγὴ τοῦ.

Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, δείκνυσι τίνων ἐστὶ τὸ φωνὴν ἔχειν· δεύτερον, τί ἐστιν τὸ ἴδιον ὄργανον τῆς φωνῆς, ἐν τῷ· Φωνὴ δέ ἐστι. Περὶ τὸ πρῶτον αὖθις δύο ποιεῖ· πρῶτον, δείκνυσιν ὅτι τὸ ἔχειν φωνὴν τῶν ἐμψύχων ἐστί· δεύτερον, δείκνυσι τίνων ἐμψύχων, ἐν τῷ· Πολλὰ δὲ τῶν ζῴων.

Φησὶ τοίνυν, πρῶτον, ὅτι ἡ φωνή ἐστιν εἶδός τι τοῦ ψόφου. Ἔστι δὲ ψόφος ἐμψύχου, οὐ μέντοι γε πᾶς, ἀλλά τις, ὡς μετὰ ταῦτα δειχθήσεται. Οὐδὲν δὲ ἄψυχον ἔχει φωνήν, καὶ ἐάν ποτέ τι αὐτῶν λέγηται φωνὴν ἔχειν, τοῦτο καθ' ὁμοιότητά ἐστιν, ὥσπερ ὁ αὐλὸς καὶ ἡ λύρα καὶ τὰ τοιαῦτα ὄργανα λέγονται φωνὴν ἔχειν· ἔχουσι γὰρ τρία τινὰ οἱ τούτων ψόφοι, ἐν οἷς ἀφωμοίωνται τῇ φωνῇ· ὧν πρῶτόν ἐστιν ἡ ἀπότασις. Φανερὸν γὰρ ὅτι ἐν τοῖς ἀψύχοις σώμασιν ἐκ τῆς ἁπλῆς κρούσεως γίνεται ὁ ψόφος· ὅθεν, ὅταν ἡ τύψις αὐτίκα διαβαίνῃ, καὶ ὁ ψόφος τάχιστα διαβαίνει καὶ οὐ συνεχίζεται. Ἀλλ' ἡ φωνὴ γίνεται ἐκ τῆς τύψεως τοῦ ἀέρος πρὸς τὴν φωνητικὴν ἀρτηρίαν, ὡς μετὰ ταῦτα δειχθήσεται, ἥτις δὴ τύψις συνεχίζεται κατὰ τὴν ὄρεξιν τῆς ψυχῆς, καὶ διὰ τοῦτο ἡ φωνὴ ἀποτείνεσθαι δύναται καὶ συνεχίζεσθαι. Κἀκεῖνα τοίνυν τὰ ὄργανα, περὶ ὧν εἴρηται, διὰ τὸ ἔχειν τινὰ συνέχειαν ἐν τῷ ἑαυτῶν ψόφῳ, ἔχουσιν ὁμοιότητα τῆς φωνῆς. Τὸ δεύτερον, ἐν ᾧ ὁμοιοῦνται τῇ φωνῇ, | ἔστι τὸ μέλος, τουτέστιν f. 313v

6 *ἐν τῇ ἁφῇ* B  19 *αὖθις* avant *δύο* add B  20 *τὸ* avant *ἴδιον* om B
21 *αὖθις*: *πάλιν* B  30 *ἐστιν* après *γὰρ* add B

Ε.Υ.Ζώτης Κ.τ.λ. ΙΩΑΝΝΙΝΑ 2006

ἡ συμφωνία· ὁ γὰρ ψόφος τοῦ ἀψύχου σώματος, ὅταν ἐξ ἁπλῆς τύψεως προΐῃ, ὁμοειδής ἐστιν, οὐκ ἔχων ἐν ἑαυτῷ τὴν τοῦ ὀξέος καὶ βαρέος διαφοράν· ὅθεν ἐν ἐκείνῳ οὐκ ἔστι συμφωνία ἡ ἐκ τῆς ἀναλογίας αὐτῶν ἀποτελουμένη. Ἀλλ' ἡ φωνὴ ποικίλλεται κατὰ τὸ βαρὺ καὶ ὀξὺ διὰ τὸ τὴν τύψιν τὴν ποιοῦσαν τὴν φωνὴν διαφόρως γίνεσθαι καὶ ποικίλως κατὰ τὴν ὄρεξιν τοῦ ζῴου, τοῦ τὴν φωνὴν προβαλλομένου. Ὅθεν, ἐπεὶ ἐν τοῖς προειρημένοις ὀργάνοις διάκρισίς ἐστι τοῦ βαρέος καὶ ὀξέος ἐν τῷ ψόφῳ, ὁ ψόφος αὐτῶν ἐστι μετά τινος μελῳδίας πρὸς τὴν ὁμοιότητα τῆς φωνῆς. Τὸ τρίτον, ἐν ᾧ ὁ ψόφος τούτων τῶν ὀργάνων ἔχει τὴν ὁμοιότητα τῆς φωνῆς, ἔστιν ἡ διάλεκτος, τουτέστιν ἡ ἑρμηνεία τῶν ψόφων πρὸς τὴν ὁμοιότητα τῆς διαλέκτου. Φανερὸν γάρ ἐστιν, ὅτι ἡ ἀνθρωπίνη διάλεκτος οὐκ ἔστι συνεχής· ὅθεν κἂν τῷ βιβλίῳ τῶν κατηγοριῶν ὁ λόγος ὁ ἐν τῇ φωνῇ προφερόμενος τίθεται εἶδος τῆς διωρισμένης ποσότητος· διακρίνεται γὰρ ὁ λόγος καὶ διορίζεται ταῖς λέξεσιν, καὶ ἡ λέξις, ταῖς συλλαβαῖς· καὶ τοῦτο συμβαίνει διὰ τὰς ποικίλας καὶ διαφόρους τύψεις τοῦ ἀέρος ὑπὸ τῆς ψυχῆς. Ὁμοίως καὶ ὁ ψόφος τῶν προειρημένων ὀργάνων διακρίνεται κατὰ τὰς διαφόρους τύψεις τῶν διαφόρων χορδῶν, ἢ τῶν διαφόρων φυστήρων, ἢ τοιούτων τινῶν.

Π ο λ λ ὰ δ ὲ τ ῶ ν ζ ῴ ω ν. Ἐνταῦθα δείκνυσι τίνων ἐμψύχων ἐστὶ τὸ ἔχειν φωνήν, καὶ φησὶν ὅτι πολλὰ ζῷα οὐκ ἔχουσι φωνήν, οἷα εἰσὶ πάντα τὰ ἐστερημένα αἵματος, ὧν τέσσαρα εἰσὶ γένη, ὡς λέγεται ἐν τῷ περὶ ζῴων ἱστορίας, δηλονότι τὰ μαλάκια τὰ ἔχοντα μαλακὴν σάρκα ἔξωθεν, ὥσπερ καὶ αἱ σηπίαι καὶ τὰ ἔχοντα μαλακὸν τὸ περίβλημα, ὡς οἱ καρκῖνοι· καὶ τὰ σκληρὸν αὐτὸ ἔχοντα, ὡς τὰ ὄστρεα καὶ τὰ ἔντομα, ὡς αἱ μέλισσαι καὶ οἱ μύρμηκες καὶ τὰ τοιαῦτα· οὐδὲν γὰρ τούτων ἔχει αἷμα οὐδὲ φωνήν. Ὁμοίως καί τινα τῶν ζῴων ἐχόντων αἷμα οὐκ ἔχουσι φωνήν, δηλονότι οἱ ἰχθύες· καὶ τοῦτ' εὐλόγως συμβαίνει, διότι ὁ ψόφος ἐστὶ κίνησίς τις τοῦ ἀέρος, ὡς προείρηται, τὰ τοιαῦτα δὲ ζῷα οὐκ ἀναπνέουσι τὸν ἀέρα, καὶ διὰ τοῦτο οὐκ ἔχουσιν ἴδιον ψόφον, ὅς ἐστι φωνή. Ἀλλ' ἐπεί τινες ἰχθύες λέγονται ἔχειν φωνήν, ὥσπερ οἱ ἐν τῷ Ἀχελώῳ, ἰστέον ὅτι οὐκ ἔχουσιν ἰδίαν φωνὴν κυρίως, ἀλλὰ ποιοῦσι τινὰ ψόφον τοῖς βραγχίοις, δι' ὧν ἀπωθοῦνται τὸ ὕδωρ καὶ ἐφέλκονται, ἢ ἑτέρῳ τινὶ τοιούτῳ ὀργάνῳ τῆς κινήσεως.

Φ ω ν ὴ δ έ ἐ σ τ ι ν. Ἐνταῦθα δείκνυσι τί ἐστι τὸ τῆς φωνῆς ὄργανον, καὶ περὶ τοῦτο τρία ποιεῖ· πρῶτον, δείκνυσιν ὅτι τὸ αὐτό ἐστιν ὄργανον φωνῆς τε καὶ ἀναπνοῆς· δεύτερον, δείκνυσι πρὸς τί ἡ ἀναπνοή ἐστι χρήσιμος, ἐν τῷ· Ἤ δ η γ ά ρ· τρίτον, δείκνυσι τί τὸ ὄργανον τῆς φωνῆς, ἐν τῷ· Ὄ ρ γ α ν ο ν δ έ. Λέγει τοίνυν, πρῶτον, ὅτι εἰ καὶ ἡ φωνὴ ψόφος

---

23 blanc après *ὥσπερ* AB. Scholarios n'a pas traduit le mot *pulpi*

Ε.Υ.Δ της Κ.Ι.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἐστὶ τοῦ ζῴου, οὐ μέντοι γε παντὸς μέρους τοῦ ζῴου ὁ ψόφος ἐστὶ φωνή· ἀλλὰ διότι πρὸς τὴν τοῦ ψόφου γένεσιν ζητεῖται εἶναι τύψιν τινὸς πρός τι καὶ ἔν τινι, ὅπερ ἐστὶν ἀήρ, εὔλογον ἐστὶν ἐκεῖνα μόνα τῶν ἐμψύχων φωνὴν ἔχειν, ἅτινα καὶ τὸν ἀέρα δι' ἀναπνοῆς δέχεται καὶ ἐκ τοῦ αὐτοῦ μέρους, ὅθεν ἀναπνέουσιν.

Ἤδη γάρ. Ἐνταῦθα δείκνυσιν, ὅτι ἡ φύσις χρῆται τῷ ἀναπνεομένῳ ἀέρι πρὸς δύο ἔργα, ὥσπερ χρῆται καὶ τῇ γλώττῃ πρός τε τὴν γεῦσιν καὶ τὴν διάλεκτον, ὧν τῶν δύο ἡ γεῦσις ἐστὶν ἀναγκαία· ἔστι γὰρ διακριτικὴ τῆς τροφῆς τῆς ἁρμοζούσης, ᾗ διατηρεῖται τὸ ζῷον, καὶ διὰ τοῦτο τοῖς πλείστοις ἔνεστι ζῴοις. Ἀλλ' ἡ ἑρμηνεία ἡ γινομένη διὰ τῆς διαλέκτου ἐστὶ πρὸς τὸ εὖ εἶναι. Ὁμοίως καὶ τῷ ἀναπνεομένῳ ἀέρι χρῆται ἡ φύσις πρός τε τὸ καταπραΰνειν τὴν ἐν τῷ ζῴῳ φυσικὴν θέρμην, ὅπερ ἐστὶν ἀναγκαῖον· καὶ τούτου ἡ αἰτία εἴρηται ἐν τῷ περὶ εἰσπνοῆς καὶ ἐκπνοῆς βιβλίῳ· χρῆται δὲ αὐτῷ καὶ πρὸς τὴν εἰδοποίησιν τῆς φωνῆς, ὅπερ ἐστὶ πρὸς τὸ εὖ εἶναι.

Ὄργανον δέ. Ἐνταῦθα δείκνυσι τί ἐστι τὸ ὄργανον τῆς ἀναπνοῆς, καὶ φησὶν ὅτι ὄργανον ἀναπνοῆς ἐστιν ἡ φωνητικὴ ἀρτηρία, ἥτις τέτακται πρὸς τὸν θώρακα, ὡς ἂν αὐτῷ δουλεύῃ διὰ τὴν τοῦ | ἀέρος ἐπίσπασιν. f. 314
Τὸν δὲ ἀέρα ἀνάγκη ἐφέλκεσθαι ὑπὸ τοῦ πνεύμονος, διότι ἐν τούτῳ τῷ μέρει τὰ πορευτικὰ ζῷα πλέον ἔχουσι θέρμης ἢ ἐν τοῖς ἄλλοις μέρεσιν· ὁ γὰρ θώραξ συνάπτεται τῇ καρδίᾳ, ἐν ᾗ ἡ ἀρχὴ τῆς φυσικῆς θέρμης ἐστί, καὶ διὰ τοῦτο ὁ περὶ τὴν καρδίαν τόπος χρῄζει τῆς ἀναπνοῆς πρὸς ἀνάψυξιν τῆς φυσικῆς θέρμης. Λέγει δέ· Πρῶτον τόπον, ἢ διότι πρῶτος περὶ τὴν καρδίαν ὁ θώραξ ὡς ἐκείνῳ μάλιστα γειτνιάζων, ἢ διότι ἡ καρδία ἐστὶ πρῶτον μέρος τοῦ ζῴου καὶ ὅσον πρὸς τὴν γένεσιν καὶ ὅσον πρὸς τὴν αἰτιατικότητα καὶ τὴν κίνησιν· καὶ διὰ τοῦτο ἀνάγκη ἐστὶ τὸν ἀέρα εἰσέρχεσθαι εἰς τὸν θώρακα πρὸς ἀνάψυξιν τῆς ἐμφύτου θέρμης τῆς καρδίας. Ἢ τοῦτο, ὅ φησιν, ὅτι ἐν τούτῳ τῷ μέρει τὰ ζῷα τὰ πεζὰ ἔχουσι πλείονα θέρμην τῶν ἄλλων, νοητέον ἐστὶ καὶ ἀντὶ τῶν ἄλλων ζῴων. Φανερὸν γάρ ἐστιν, ὅτι τὰ ζῷα τὰ ἔναιμα ἔχουσι πλείω θέρμην φυσικὴν τῶν ἀναίμων, καὶ ἐν τῷ γένει τῶν ἐναίμων οἱ ἰχθύες ἔχουσιν ἔλαττον τῆς φυσικῆς θέρμης. Καὶ διὰ τοῦτο τὰ ἐστερημένα αἵματος ζῷα καὶ οἱ ἰχθύες οὐκ ἀναπνέουσιν, ὡς εἴρηται.

Ὥστε ἡ πληγή. Ἐνταῦθα ἐκ τῶν προειρημένων τὸν τῆς φωνῆς ὁρισμὸν συμπεραίνει, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, τίθησι τὸν ὁρισμόν· δεύτερον, φανεροῖ αὐτόν, ἐν τῷ· Οὐ γάρ. Φησὶ τοίνυν, πρῶτον, ὅτι, διότι ἡ φωνή ἐστι ψόφος τοῦ ἐμψύχου καὶ ἐξ ἐκείνου τοῦ μέρους ᾧ τὸν ἀέρα εἰσπνεῖ, πᾶς δὲ ψόφος ἔκ τινος τύψεως ἀέρος ἐστίν, ἕπεται τὴν φωνὴν

17 *ἀναπνοῆς*: *τῆς φωνῆς* B 25 *καὶ ὅσον — γένεσιν* en marge B

ΙΩΑΝΝΙΝΑ 2006

εἶναι τύψιν τοῦ ἀναπνεομένου ἀέρος πρὸς τὴν φωνητικὴν ἀρτηρίαν, ἥτις τύψις γίνεται παρὰ τῆς ψυχῆς, τῆς ἐν τούτοις τοῖς μέρεσι, τουτέστιν ἀρχοειδῶς ἐν τῇ καρδίᾳ. Εἰ γὰρ καὶ ἐν ὅλῳ τῷ σώματι ἐστὶν ἡ ψυχὴ ὡς εἶδος τοῦ ζῴου, ὅμως ἡ κινητικὴ αὐτῆς δύναμις ἐν τῇ καρδίᾳ ἐστὶν ἀρχοειδῶς. Δίδοται δὲ οὗτος ὁ ὁρισμὸς δι' αἰτίας· οὐ γὰρ ἡ φωνή ἐστι τύψις, ἀλλ' ὁ ψόφος ἐκ τῆς τύψεως ἀποτίκτεται.

Οὐ γὰρ πᾶς. Ἐνταῦθα φανεροῖ τὸν προειρημένον ὁρισμόν, καὶ πρῶτον ὅσον πρὸς τὸ εἰρημένον, ὅτι ἡ τύψις ἡ φωνητική ἐστι παρὰ τῆς ψυχῆς· δεύτερον, ὅσον πρὸς τὸ ὅτι ἐστὶ τοῦ ἀναπνεομένου ἀέρος, ἐν τῷ· Σημεῖον δέ ἐστιν. Ἔθησε γὰρ τρία ἐν τῷ ὁρισμῷ τῆς φωνῆς· τὸ τύπτον, δηλονότι τὴν ψυχήν, τὸ τυπτόμενον, δηλονότι τὸν ἀέρα, καὶ τὸ πρὸς ὃ γίνεται ἡ τύψις, οἷον τὴν φωνητικὴν ἀρτηρίαν· ὧν τὸ μὲν τρίτον φθάσας ἐδηλοποίησεν· ἐλείπετο δὲ καὶ τὰ λοιπὰ δύο δηλοποιῆσαι. Φησὶ τοίνυν, πρῶτον, ὅτι, ὡς προείρηται, οὐ πᾶς ψόφος ζῴου φωνή ἐστιν· ἐνδέχεται γὰρ καὶ τὰ ξύλα ποιεῖν ψόφους τινάς, οὐ μέντοι γε οὗτοι φωναί εἰσι, ὥσπερ καὶ οἱ βήττοντες ψόφον ποιοῦσιν, ὃς οὐκ ἔστι φωνή. Δεῖ γὰρ πρὸς τὸ φωνὴν εἶναι, ἵνα τὸ τύπτον τὸν ἀέρα ἔμψυχον ᾖ, καὶ μετά τινος φαντασίας βουλομένης δηλῶσαί τι· δεῖ γὰρ τὴν φωνὴν εἶναι ψόφον τινὰ σημαντικὸν ἢ φύσει, ἢ κατὰ συνθήκην· καὶ διὰ τοῦτο εἴρηται, ὅτι ἡ τοιαύτη τύψις ἐστὶ παρὰ τῆς ψυχῆς. Ἐνέργειαι γὰρ τοῦ ζῴου λέγονται αἱ προϊοῦσαι ἐκ τῆς φαντασίας· καὶ οὕτω φαίνεται ὅτι ἡ φωνὴ οὐκ ἔστι τύψις τοῦ ἀναπνεομένου ἀέρος, ὥσπερ συμβαίνει ἐν τῷ βήττειν, ἀλλὰ τὸ ᾧτινι ἀρχοειδῶς ἀποδίδοται ἡ αἰτία τῆς φωνῆς, ἥτις χρῆται δηλονότι τῷ ἀναπνεομένῳ ἀέρι πρὸς τὸ τύπτειν τὸν ἀέρα, τὸν ἐν τῇ ἀρτηρίᾳ, πρὸς αὐτὴν τὴν ἀρτηρίαν· ὁ γὰρ ἀὴρ οὐκ ἔστιν ἀρχοειδὴς ἐν τῇ μορφώσει τῆς φωνῆς, ἀλλ' ἡ ψυχή, ἡ χρωμένη τῷ ἀέρι ὡς ὀργάνῳ πρὸς τὸ μορφοῦν τὴν φωνήν.

Σημεῖον δέ. Ἐνταῦθα φανεροῖ τὸ ἄλλο μέρος τοῦ ὁρισμοῦ, δηλονότι ὅτι ἡ φωνὴ ἐστὶ τύψις τοῦ ἀναπνεομένου ἀέρος, καὶ ὅτι σημεῖον τούτου διπλοῦν ἐστιν· ἓν μέν, ὅτι τὸ ζῷον οὐ δύναται εἰδοποιεῖν τὴν φωνήν, οὔτε ἐφελκόμενον τὸν ἀέρα διὰ τῆς ἀναπνοῆς, οὔτε ἐκπέμπον διὰ τῆς ἐκπνοῆς, ἀλλ' ὅταν κατέχῃ τὸν ἀέρα, διότι ἐν τῷ κατέχειν αὐτὸν τούτῳ τῷ κατασχεθέντι ἀέρι ποιεῖ κίνησιν πρὸς εἰδοποίησιν τῆς φωνῆς. Ἄλλο δὲ σημεῖον ἐστὶν ὅτι οἱ ἰχθύες οὐκ ἔχουσι φωνήν· οὐ γὰρ ἔχουσι φάρυγγα, τουτέστι φωνητικὴν ἀρτηρίαν, καὶ τοῦτο τὸ μέρος οὐκ ἔχουσι διὰ τὸ μὴ προσλαμβάνειν ἀέρα μηδὲ ἀναπνεῖν. Ἀλλ' οἱ λέγοντες τοὺς
f. 314v ἰχθῦς ἀναπνεῖν ἁμαρτάνουσι. Διὰ τί δὲ οἱ ἰχθῦς | οὐκ ἀναπνέουσιν, ἄλλος ἐστὶ λόγος· ἀνήκει γὰρ τοῦτο πρὸς τὴν ἐπιστήμην, ἐν ᾗ θεωροῦνται τὰ μερικῶς συμβεβηκότα τοῖς ζῴοις.

---

18 *δηλοποιῆσαι* B

Ε.Υ.Δ της Κ.τ.Ι ΙΩΑΝΝΙΝΑ 2006

## Leçon XIX.

Περὶ δὲ ὀσμῆς καὶ ὀσφραντοῦ. Διορισάμενος ὁ Φιλόσοφος περὶ τοῦ ὁρατοῦ καὶ ἀκουστοῦ, νῦν διορίζεται περὶ τοῦ ὀσφραντοῦ, καὶ τοῦτο τὸ μέρος διαιρεῖται οὕτως· πρῶτον, δείκνυσι περὶ τοῦ ὀσφραντοῦ, τί ἐστι· δεύτερον, διορίζεται περὶ τοῦ ὀσφραντοῦ, καθὸ μεταβάλλει τὴν αἴσθησιν τῆς ὀσφρήσεως, ἐν τῷ· Ἔστι δὲ καὶ ἡ ὄσφρησις. Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, διορίζεται περὶ τοῦ ὀσφραντοῦ καθαυτό· δεύτερον, περὶ τοῦ ἀνοσφράντου, ὅτι τῇ ὀσφρήσει καταλαμβάνεται. Περὶ τὸ πρῶτον αὖθις δύο ποιεῖ· πρῶτον, δείκνυσι τὴν δυσχέρειαν περὶ τὸ διορίσασθαι περὶ τοῦ ὀσφραντοῦ· δεύτερον, δείκνυσι πῶς ἄρξασθαι δεῖ τῆς γνώσεως τῶν ὀσφραντῶν, ἐν τῷ· Ἔοικε μὲν γάρ. Φησὶ τοίνυν, πρῶτον, ὅτι οὐχ οὕτω καλῶς δυνατὸν διορίσασθαι περὶ τοῦ ὀσφραντοῦ ὥσπερ περὶ τῶν προειρημένων αἰσθητῶν, δηλονότι τοῦ ὁρατοῦ καὶ ἀκουστοῦ, διότι οὐκ ἔστιν ἡμῖν φανερὸν τί ἐστιν ὀσμὴ ὥσπερ τί ἐστι ψόφος, ἢ τί ἐστι τὸ ὁρατόν, πότερον φῶς, ἢ τι τοιοῦτον· καὶ τούτου τὴν αἰτίαν ἀποδίδωσι, διότι τὴν αἴσθησιν τῆς ὀσμῆς οὐκ ἔχομεν οὕτω κάλην, ὥστε διαβατικῶς καὶ κατ' ἀκρίβειαν γινώσκειν αὐτὴν καὶ τὸ ἴδιον ἀντικείμενον, ἀλλ' ἔχομεν αὐτὴν χείρω πολλῶν ἄλλων ζῴων, οὗ δὴ λόγος ἐστὶν ὅτι, ἐπεὶ τὸ ὄργανον τῆς αἰσθήσεως ὀφείλει εἶναι ἀνάλογον τῷ ἰδίῳ αἰσθητῷ, ὥσπερ ἡ ὀσμὴ γίνεται ἐκ τοῦ θερμοῦ καὶ ξηροῦ, οὕτω καὶ πρὸς τὴν τελειότητα τοῦ ὀργάνου τῆς ὀσφρήσεως ζητεῖται ἡ ἐπικράτεια τοῦ θερμοῦ καὶ ξηροῦ· ὁ δὲ ἄνθρωπος τὸν ἐγκέφαλον, ᾧ γειτνιάζον ἔχει καὶ σύνεγγυς διακείμενον τὸ ὄργανον τῆς ὀσφρήσεως, ἔχει μείζω τῶν ἄλλων ἁπάντων ζῴων κατὰ τὴν ἀναλογίαν τοῦ σώματος, ὡς ὁ Φιλόσοφος φησὶν ἐν τῷ περὶ ζῴων μορίων. Ὅθεν, ἐπεὶ ὁ ἐγκέφαλος ἐστὶ ψυχρὸς καὶ ὑγρὸς καθ' αὑτὸν θεωρούμενος, ἐμποδίζεται ἐν τῷ ἀνθρώπῳ ἡ ἀγαθότης τῆς ὀσφρήσεως, καὶ διὰ τοῦτο ὀσμᾶται ὁ ἄνθρωπος φαύλως, καὶ οὐδενὸς αἰσθάνεται τῶν ὀσφραντῶν εἰ μὴ ὅσα κατά τινα ὑπεροχὴν εἰσάγουσιν ἡδονήν τινά, ἢ τοὐναντίον, ὃ συμβαίνει διὰ τὴν αἴσθησιν, ἥτις οὐκ ἔστιν ἐντελὴς πρὸς ἀκρίβειαν καὶ πρὸς τὸ ἀκριβῶς διακρίνειν περὶ τοῦ ἰδίου ὑποκειμένου. Ὅθεν εὔλογον ἐστὶ τὸ τῶν ἀνθρώπων γένος πρὸς τὴν ἀντίληψιν τῶν ὀσμῶν οὕτως ἔχειν ὥσπερ καὶ τῶν ζῴων τὰ σκληρόφθαλμα, οἷον ἀκρίδας καί τινας ἰχθῦς, πρὸς τὴν ἀντίληψιν τῶν χρωμάτων, ὧν διὰ τὴν ἀσθένειαν τῆς ὄψεως ἐκ τῆς ἀνεπιτηδειότητος τοῦ ὀργάνου οὐκ ἀντιλαμβάνονται εἰ μὴ ἔν τινι ὑπερβολῇ, ὅταν ἐξ αὐτῶν δηλονότι ἐπιφέρηταί τις αὐτοῖς φόβος, ἢ τοὐναντίον.

Ἔοικε μὲν γὰρ ἀνάλογον ἔχειν. Ἐνταῦθα δείκνυσιν, ὅπως ἄρχονται ἡμῖν γνωρίζεσθαι αἱ διαφοραὶ τῶν ὀσμῶν, καὶ διαιρεῖται εἰς

7 *αὖθις* **avant** *δύο* **add B** 9 *περὶ τὸ*: *πρὸς τὸ* **B** 23 *μεῖζον* **B**

Ε.Γ.Δ της Κ.Τ. ΙΩΑΝΝΙΝΑ 2006

δύο· πρῶτον μὲν γὰρ δείκνυσιν, ὅτι αἱ διαφοραὶ τῶν ὀσμῶν γνωρίζονται ἡμῖν διὰ τῆς παραθέσεως πρὸς τὰς διαφορὰς τῶν χυμῶν· δεύτερον, δείκνυσι πῶς ἀνταποκρίνονται ταῖς διαφοραῖς τῶν χυμῶν αἱ διαφοραὶ τῶν ὀσμῶν, ἐν τῷ· Ἔστι δὲ ὥσπερ. Φησὶ τοίνυν, πρῶτον, ὅτι ἡ αἴσθησις τῆς ὀσμῆς δοκεῖ ἔχειν ἐν τῷ ἀνθρώπῳ τινὰ οἰκειότητα καὶ ἀναλογίαν πρὸς τὴν γεῦσιν, ὁμοίως καὶ τὰ τῶν χυμῶν εἴδη πρὸς τὰ τῆς ὀσμῆς· ἕκαστον γὰρ τῶν ἀγνώστων γινώσκεται διὰ τοῦ φανεροῦ. Ὅθεν, ἐπεὶ τὰ τῶν χυμῶν εἴδη εἰσὶν ἡμῖν μάλιστα φανερά, τὰ εἴδη τῶν ὀσμῶν, ἄδηλα ἡμῖν ὄντα καὶ ἔχοντά τινα συγγένειαν πρὸς τὰ τῶν χυμῶν εἴδη, κατὰ τὴν πρὸς ἐκεῖνα ὁμοιότητα γινώσκονται παρ᾽ ἡμῶν· τὰ δὲ τῶν χυμῶν εἴδη εἰσὶν ἡμῖν φανερώτατα, διότι τὴν τῆς γεύσεως αἴσθησιν ἔχει ὁ ἄνθρωπος ἀκριβεστέραν ἢ τὰ ἄλλα ζῷα, διότι ἡ γεῦσις ἐστὶν ἁφή τις, τὴν δὲ ἁφὴν ἔχει ἀκριβεστέραν πάντων τῶν ἄλλων ζῴων, εἰ καὶ ταῖς ἄλλαις αἰσθήσεσιν, ἐνδεεῖ τινῶν ζῴων. Εἰσὶ γάρ τινα ζῷα, ἃ βέλτιον τοῦ ἀνθρώπου ὁρῶσιν, ἀκούουσι καὶ ὀσφραίνονται. Ἀλλ᾽ ὅμως κατὰ τὴν ἁφὴν πολὺ διαφέρει τῇ ἀκριβείᾳ τῆς γνώσεως ἀπὸ τῶν ἄλλων ζῴων. Ὅθεν, διὰ τὸ τὸν ἄνθρωπον ἀρίστην ἔχειν ἁφήν, ἕπεται φρονιμώτατον εἶναι πάντων τῶν
f. 315 ζῴων, διότι κἂν τῷ γένει | τῶν ἀνθρώπων ἐκ τῆς αἰσθήσεως τῆς ἁφῆς καταλαμβάνομεν εἶναί τινας εὐφυεῖς τε καὶ ἀφυεῖς, καὶ οὐ κατά τινα ἄλλην αἴσθησιν· οἱ γὰρ ἔχοντες σκληρὰν τὴν σάρκα, καὶ ἀκολούθως πονηρὰν ἁφήν, ἀνεπιτήδειοί εἰσι κατὰ τὴν διάνοιαν· οἱ δὲ μαλακόσαρκοι, οἷς ἕπεται καὶ ἀγαθὴν ἔχειν ἁφήν, εὐφυεῖς εἰσι καὶ τῇ διανοίᾳ εὖ πεφυκότες. Ὅθεν καὶ τὰ ἄλλα ζῷα σκληροτέραν τοῦ ἀνθρώπου τὴν σάρκα ἔχουσιν.

Ἀλλὰ δόξειεν ἂν τὴν εὐφυΐαν μᾶλλον ἀνταποκρίνεσθαι τῇ ἀγαθότητι τῆς ὄψεως ἢ τῆς ἁφῆς, διότι ἡ ὄψις αἴσθησις ἐστὶ πνευματικωτέρα καὶ πλείους πραγμάτων δείκνυσι διαφοράς. Ἀλλὰ ῥητέον, ὅτι ἐκ διπλῆς αἰτίας ἡ ἀγαθότης τῆς διανοίας ἀνταποκρίνεται τῇ ἀγαθότητι τῆς ἁφῆς· πρώτη αἰτία ἐστὶν ὅτι ἡ ἁφὴ θεμέλιος ἐστὶ πασῶν τῶν αἰσθήσεων. Φανερὸν γὰρ ὅτι τὸ τῆς ἁφῆς ὄργανον δι᾽ ὅλου διαχεῖται τοῦ σώματος καὶ πᾶν ὄργανον τῆς αἰσθήσεως ἐστὶ καὶ ὄργανον τῆς ἁφῆς, καὶ τὸ ἐξ οὗ τι λέγεται αἰσθητικὸν ἡ αἴσθησις ἐστὶ τῆς ἁφῆς· ὅθεν ἐκ τοῦ ἔχειν τινὰ βελτίω ἁφὴν ἕπεται καὶ ἁπλῶς ἔχειν βελτίω τὴν αἰσθητικὴν φύσιν, καὶ ἀκολούθως καὶ βελτίονος εἶναι διανοίας. Ἡ γὰρ τῆς αἰσθήσεως ἀγαθότης διάθεσίς ἐστι πρὸς τὴν ἀγαθότητα τοῦ νοῦ· ἐκ δὲ τοῦ ἔχειν τινὰ βελτίονα ὄψιν ἢ ἀκοὴν οὐχ ἕπεται αὐτὸν καὶ βέλτιον αἰσθάνεσθαι ἁπλῶς, ἀλλά πῃ. Ἄλλος λόγος ἐστίν, ὅτι ἡ ἀγαθότης τῆς ἁφῆς ἕπεται τῇ συμμετρίᾳ τῆς συμπλο-

8 *ἡμῖν* (2°) om B   16 *ἀπὸ* om B   25 en marge *ἀπορία* A   27 en marge *λύσις* A

Ε.Σ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

κῆς· ἐπεὶ γὰρ τὸ τῆς ἁφῆς ὄργανον οὐ δύναται εἶναι γεγυμνωμένον τοῦ γένους τῶν ἁπτῶν ποιοτήτων διὰ τὸ συγκεῖσθαι ἐκ τῶν στοιχείων, δεῖ εἶναι ἐν δυνάμει πρὸς τὰ ἄκρα, τοὐλάχιστον διὰ τοῦ μεταξὺ τούτων· πρὸς δὲ τὴν καλὴν τοῦ σώματος συμπλοκὴν ἕπεται ἡ εὐγένεια τῆς ψυχῆς, διότι πᾶν εἶδος τῇ οἰκείᾳ ὕλῃ ἀναλογεῖ. Ὅθεν ἀκολουθεῖ τοὺς ἀγαθῆς ἁφῆς τετυχηκότας εἶναι βελτίονος ψυχῆς καὶ διορατικωτέρας διανοίας.

Ἔστι δ' ὥσπερ χυμός. Ἐνταῦθα δείκνυσι πῶς τὰ εἴδη τῆς ὀσμῆς ἀνταποκρίνονται τοῖς εἴδεσι τῶν χυμῶν, καὶ φησὶν ὅτι, ὥσπερ χυμός, ὃ μέν τίς ἐστι γλυκύς, ὃ δὲ πικρός, οὕτω καὶ αἱ ὀσμαὶ διακρίνονται. Ἀλλ' ἰστέον ὅτι τινὲς ἔχουσιν ἀναλογικῶς τὴν ὀσμὴν καὶ τὸν χυμόν, τουτέστι γλυκεῖαν ὀσμὴν καὶ γλυκὺν χυμόν, τινὲς δὲ διὰ τοῦ ἐναντίου, δηλονότι γλυκὺν χυμὸν καὶ οὐ γλυκεῖαν ὀσμήν, ἢ τὸ ἀνάπαλιν, οὗ δὴ λόγος ἐστίν, ὅτι ὁ χυμὸς συνίσταται ἐν τῷ ὑγρῷ ὑδατώδει ἀμηγέπη πεφθέντι, ἡ δὲ ὀσμὴ συνίσταται ἐν τῷ ἀερώδει ξηρῷ ὁπωσδήποτε κραθέντι, συμβαίνει δὲ ποτὲ μὲν ἑκατέραν τὴν οὐσίαν, δηλονότι καὶ τὴν λεπτὴν καὶ ἀερώδη καὶ τὴν ὑδατώδη τὴν παχυτέραν, κατὰ τὴν ὀφειλομένην ἀναλογίαν εἶναι ἐν τῷ μικτῷ, καὶ οὕτως ἐστὶν ἡ γλυκύτης τῆς ὀσμῆς καὶ τοῦ χυμοῦ. Ἂν δὲ ᾖ ἡ ὀφειλομένη ἀναλογία ἐν τῷ ἑνὶ καὶ οὐκ ἐν τῷ λοιπῷ, ἔσται ἐν τῷ ἑνὶ ἡ γλυκύτης, ἐν δὲ τῷ λοιπῷ οὐκ ἔσται. Καὶ ὥσπερ εἴρηται περὶ τοῦ γλυκέος χυμοῦ καὶ τοῦ πικροῦ, ἅπερ εἰσὶν ἄκρα ἐν τοῖς χυμοῖς, ὅτι μεταφέρονται πρὸς τὰς ὀσμάς, οὕτω καὶ τὸ δριμὺ καὶ αὐστηρὸν καὶ τὸ ὀξὺ καὶ λιπαρὸν ταῖς ὀσμαῖς ἀποδίδονται. Ἀλλ' εἰ καὶ μὴ ἐν πᾶσιν ἀνταποκρίνονται ἀεὶ τοῖς χυμοῖς αἱ ὀσμαί, ὅμως, ὡς εἴρηται, διὰ τὸ πολλὰς τῶν ὀσμῶν μὴ εἶναι φανεράς, ὥσπερ εἰσὶν οἱ χυμοί, ἔλαβον αἱ ὀσμαὶ τὰ ὀνόματα ἀπὸ τῶν χυμῶν κατὰ τὸ τῶν πραγμάτων ἔθος, διότι ὡς ἐπὶ τὸ πλεῖστον αἱ ὀσμαὶ ἀνταποκρίνονται τοῖς χυμοῖς· γλυκεῖα γὰρ ὀσμὴ καὶ χυμὸς ἐστὶν ἀπὸ τοῦ κρόκου καὶ τοῦ μέλιτος, δριμεῖα δὲ ἀπὸ τοῦ θύμου καὶ τῶν τοιούτων· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων χυμῶν καὶ ὀσμῶν.

Ἔστι δ' ὥσπερ. Ἐνταῦθα δείκνυσι πῶς τὰ μὴ ὀσφραντὰ ὀσφρήσει καταλαμβάνονται, καὶ φησὶν ὅτι, ὥσπερ ἀκοὴ ἐστὶ τοῦ ἀκουστοῦ καὶ μὴ ἀκουστοῦ, καὶ ἡ ὄψις τοῦ ὁρατοῦ καὶ μὴ ὁρατοῦ, ἐπείπερ ἡ αὐτὴ δύναμις γνωστική ἐστι τῶν ἀντικειμένων, καὶ ἡ στέρησις οὐ γινώσκεται εἰ μὴ διὰ τῆς ἕξεως, ὁμοίως καὶ ἡ ὄσφρησις ἐστὶ τοῦ ὀσφραντοῦ | καὶ ἀνοσφράντου. f. 315v
Ἀλλὰ τὸ ἀνόσφραντον διχῶς λέγεται, ἢ τὸ ἀδύνατον ἔχειν ὀσμήν, ὥσπερ τὰ ἁπλᾶ σώματα, ἢ τὸ ἔχον μικρὰν ἢ φαύλην ὀσμήν. Τὸ δ' αὐτὸ δεῖ νοεῖν καὶ περὶ τοῦ γευστοῦ καὶ ἀγεύστου.

---

1-2 *τοῦ γένους* om B   13 *πεμφθέντι* A   18 *ἀναλογία: ἐνέργεια* B   23 *ὡς* om B   32 *ἐστι* om B   34 *ἢ τό: ἢ ὅτι* B

Ε.Υ.Π. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Leçon XX.

*Ἔστι δὲ καὶ ἡ.* Διορισάμενος περὶ τοῦ ὀσφραντοῦ, ἐνταῦθα διορίζεται περὶ τῆς ὑπ' αὐτοῦ μεταβολῆς τῆς ὀσφρήσεως, καὶ πρῶτον μὲν ὅσον πρὸς τὸ μέσον· δεύτερον, ὅσον πρὸς τὸ ὄργανον τῆς αἰσθήσεως, ἐν τῷ· *Ἔστι δὲ ἡ ὀσμὴ τοῦ ξηροῦ.* Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, δείκνυσι τί ἐστι τὸ μέσον ἐν τῇ αἰσθήσει τῆς ὀσφρήσεως· δεύτερον, κινεῖ τινὰ ἀπορίαν περὶ τὰ διωρισμένα, ἐν τῷ· *Ὅθεν καὶ ἄπορον.* Φησὶ τοίνυν, πρῶτον, ὅτι ἡ αἴσθησις τῆς ὀσφρήσεως μεταβάλλεται διὰ τοῦ μεταξύ, δηλονότι ἀέρος ἢ ὕδατος, ὑπὸ τοῦ ὀσφραντοῦ. Καὶ ὅτι ὁ ἀὴρ ἐστι μέσον ἐν τῷ ὀσφραντῷ, ἐναργῶς φαίνεται· καὶ διότι διὰ τοῦ ἀέρος ὀσφραινόμεθα ἔδει δεῖξαι ὅπως ἐστὶ τὸ ὕδωρ μέσον ἐν τῇ ὀσμῇ· ὃ φανεροῖ διὰ τοῦ τὰ ἔνυδρα ζῷα ὀσμῆς αἰσθάνεσθαι, οὐ μόνον τὰ ἔχοντα αἷμα, ἀλλὰ καὶ τὰ ἄναιμα, ὥσπερ καὶ τὰ ζῷα τὰ ζῶντα ἐν τῷ ἀέρι· ὃ φαίνεται ἐκ τοῦ τινὰ ἐξ αὐτῶν πόρρωθεν ἔρχεσθαι πρὸς τὴν τροφήν, ὅπερ οὐκ ἂν ἠδύνατο εἶναι, εἰ μὴ καθόσον προκαλοῦνται ὑπ' ὀσμῆς, ὡς φαίνεται ἐπὶ τῶν γυπῶν, οἵτινες ἐκ πολλῶν ἡμερῶν ὁδοῦ λέγονται πρὸς τὸ πτῶμα συντρέχειν. Πῶς δὲ ἡ ὀσμὴ πρὸς οὕτω μακρὸν διάστημα διεκτείνεται, ἀπορίαν ἔχει.

Ἰστέον δὲ ὅτι τινὲς ἔθεντο πάσας τὰς αἰσθήσεις ἁφῇ τινι τελειοῦσθαι· ἔλεγον γὰρ δεῖν τὴν αἴσθησιν καὶ τὸ αἰσθητὸν ἅπτεσθαι ἀλλήλων, εἰ μέλλοι γίνεσθαι ἡ ἐνέργεια τῆς αἰσθήσεως. Ἄλλως δὲ ἐνόμιζον τοῦτο συμβαίνειν ἐν τῇ ὄψει, καὶ ἄλλως ἐν ταῖς ἄλλαις αἰσθήσεσιν. Ἔλεγον γὰρ ὅτι ἐκ τῆς ὄψεως ἐξέρχονται γραμμαὶ προϊοῦσαι ἄχρι τοῦ ὁρωμένου πράγματος καὶ ἐκ τῆς ἐπαφῆς αὐτῶν τὸ ὁρατὸν ὁρᾶσθαι. Ἐν δὲ ταῖς ἄλλαις αἰσθήσεσιν ἔφασκον δεῖν ἐκ τοῦ ἐναντίου τὸ αἰσθητὸν ἀφικνεῖσθαι πρὸς τὴν αἴσθησιν, καὶ τοῦτο ἐπὶ τῆς ἁφῆς καὶ τῆς γεύσεως ἐναργῶς φαίνεσθαι συμβαῖνον. Τὸ γὰρ ἁπτὸν καὶ γευστὸν τινὶ ἁφῇ αἰσθάνονται. Ἐν δὲ τῇ ἀκοῇ τὸ αὐτὸ δοκεῖ εἶναι· ὁ γὰρ ἀὴρ κινηθεὶς ἀφικνεῖται μέχρι τοῦ ἀκουστοῦ. Καὶ περὶ τὴν ὄσφρησιν δὲ τὸ αὐτὸ ἔλεγον εἶναι. Ἐτίθεσαν γὰρ ἀπὸ τοῦ ὀσφραντοῦ σώματος ἀναλύεσθαι τινὰ καπνώδη ἀναθυμίασιν, ἥτις ἐστὶν ὑποκείμενον τῆς ὀσμῆς καὶ ἀφικνεῖσθαι μέχρι τῆς κατὰ τὴν ὄσφρησιν αἰσθήσεως. Αἰτία δὲ τῆς τοιαύτης διαφορότητος αὕτη εἶναι δοκεῖ, ὅτι οἱ ἀρχαῖοι οὐ κατελάμβανόν τι περὶ τῆς πνευματικῆς μεταβολῆς τοῦ μέσου, ἀλλὰ μόνον περὶ τῆς φυσικῆς μεταβολῆς. Ἐν δὲ ταῖς ἄλλαις αἰσθήσεσι φαίνεταί τις μεταβολὴ φυσικὴ ἐν τῷ μέσῳ, ἀλλ' ἐν τῇ ὄψει οὐδαμῶς. Φανερὸν γὰρ ὅτι οἱ ψόφοι καὶ αἱ ὀσμαὶ ἐπιφέρονται διὰ τῶν ἀνέμων, ἢ ἐμποδίζονται, τὰ δὲ χρώματα οὐδαμῶς. Ἔτι, φανερὸν ἐστὶν ὅτι τῶν ἐναντίων χρωμάτων τὰ εἴδη διὰ τοῦ αὐτοῦ μέρους τοῦ ἀέρος

---

7 *ἐν τῷ* om B  9 *τοῦ ἀέρος ἢ τοῦ ὕδατος* B

ἀπάγονται πρὸς τὴν ὄψιν, ὥσπερ ὁπόταν εἷς τις βλέπῃ τὸ λευκόν, καὶ τὸ μέλαν ἕτερος, ἅμα ἑστῶτες καὶ τῷ αὐτῷ ἀέρι χρώμενοι μεταξύ. Τοῦτο δὲ ἐν τῇ ὀσφρήσει οὐ συμβαίνει· αἱ γὰρ ἐναντίαι ὀσμαὶ καὶ ἐν τῷ μεταξὺ ἐμποδίζουσαι ἀλλήλας φαίνονται· καὶ διὰ τοῦτο μὴ συνιέντες τὴν μεταβολήν, ἣ τὸ μεταξὺ μεταβάλλει ὑπὸ τοῦ ὁρατοῦ, ἔθεντο τὴν ὄψιν ἀπάγεσθαι μέχρι τοῦ ὁρατοῦ πράγματος. Ἀλλὰ συνιδόντες τὴν μεταβολήν, ᾗ τὸ μέσον μεταβάλλεται ὑπὸ τῶν αἰσθητῶν, ἐπίστευσν ὅτι τὰ ἄλλα αἰσθητὰ φέρονται πρὸς τὴν αἴσθησιν. Ἀλλὰ φανερόν ἐστιν ὅτι τοῦτο ἐπὶ τῆς ὀσφρήσεως οὐ δύναται συμβαίνειν, ἐπεὶ ἡ ὀσμὴ τοῦ πτώματος ἕως πεντήκοντα σταδίων, ἢ καὶ πλέον, ὑπὸ τῶν γυπῶν καταλαμβάνεται· ἀδύνατον δ' ἂν ἦν καπνώδη τινὰ ἢ σωματικὴν ἀναθυμίασιν τοῦ πτώματος μέχρι τοσούτου διαστήματος διαχεομένην ἐκτείνεσθαι, καὶ μάλιστα ἐπεὶ τὸ αἰσθητὸν μεταβάλλει τὸ μέσον πανταχόθεν κατὰ τὴν αὐτὴν διάστασιν, ἂν μὴ ἐμποδίζηται· οὐ γὰρ ἤρκεσεν ἂν πρὸς τὸ κατασχεῖν τοσοῦτον διάστημα, εἰ καὶ τὸ ὅλον ἀνελύετο εἰς τὴν καπνώδη ἀναθυμίασιν, ἐπεὶ ὡρισμένον ἐστὶ τὸ πέρας τῆς ἀραιώσεως, πρὸς ἣν τὸ φυσικὸν σῶμα ἀφικνεῖσθαι δύναται, ὅπερ ἐστὶν ἡ ἀραιότης τοῦ πυρός· καὶ μάλιστα ἐπεὶ διὰ τῆς τοιαύτης | ὀσμῆς τὸ πτῶμα οὐ f. 316 φαίνεται αἰσθητῶς μειούμενον. Καὶ διὰ τοῦτο ῥητέον ἐστὶν ὅτι ἀπὸ τοῦ ὀσφραντοῦ ἀναλύεσθαι μὲν δύναται ἡ καπνώδης ἀναθυμίασις, οὐ μέντοι γε ἀφικνεῖται μέχρι τοῦ ὅρου, ὅθεν ἡ ὀσμὴ καταλαμβάνεται, ἀλλὰ μεταβάλλεται τὸ μέσον πνευματικῶς ἐπέκεινα τοῦ διαστήματος πρὸς ὃ ἡ προειρημένη ἀναθυμίασις ἀφικνεῖσθαι δύναται. Διατί δὲ ἡ πνευματικὴ μεταβολὴ γίνεται ὑπὸ τοῦ ὁρατοῦ μᾶλλον ἢ ὑπὸ τῶν ἄλλων αἰσθητῶν, τούτου λόγος ἐστὶν ὅτι αἱ ὁραταὶ ποιότητες ἐνυπάρχουσι τοῖς φθαρτοῖς, καθὸ κοινωνοῦσι τοῖς ἀφθάρτοις σώμασιν· ὅθεν ἔχουσι τὸ εἶναι εἰδικώτερον καὶ τιμιώτερον τῶν λοιπῶν αἰσθητῶν, ἅτινα εἰσὶν ἴδια τῶν φθαρτῶν σωμάτων.

Διὸ καὶ ἄπορον. Ἐνταῦθα κινεῖ ἀπορίαν περὶ τὰ προειρημένα, καὶ πρῶτον ἀντιτίθησι πρὸς τὸ ἓν μέρος· δεύτερον, πρὸς τὸ λοιπόν, ἐν τῷ· Ἀλλ' ἀδύνατον· τρίτον, λύει, ἐν τῷ· Δοκεῖ δὲ τοῖς ἀνθρώποις. Λέγει τοίνυν, πρῶτον ὅτι, ἐπεὶ καὶ τὰ ἔνυδρα ὀσμῶνται διὰ τοῦ ὕδατος, ἄπορον δοκεῖ εἰ πάντα ὁμοίως ὀσμᾶται ὥσπερ ἔχοντα τὴν αὐτὴν αἴσθησιν, καὶ δοκεῖ μή, διότι ὁ ἄνθρωπος ὀσμᾶται ἕλκων τὸν ἀέρα δι' ἀναπνοῆς· ὅταν δὲ οὐκ ἀναπνέῃ ἕλκων τὸν ἀέρα, ἀλλ' ἐκπνέῃ ἐκβάλλων, ἢ κατέχῃ τὸ πνεῦμα, οὐκ ὀσμᾶται οὐδὲ πόρρωθεν οὐδ' ἐγγύθεν, κἂν ἐντεθῇ τὸ ὀσφραντὸν ἐπὶ τοῦ μυκτῆρος ἐντός. Ἀλλὰ τὸ μὴ εἶναι αἴσθησιν τοῦ αἰσθητοῦ, τεθέντος ἐπ' αὐτῆς τῆς αἰσθήσεως, κοινόν ἐστι πᾶσι τοῖς ζῴοις· τὸ δὲ τὴν ὀσμὴν μὴ καταλαμβάνεσθαι χωρὶς ἀναπνοῆς, τοῦτο ἴδιον ἐστὶ τῶν ἀνθρώπων, καὶ τοῦτο φανερόν ἐστίν, ἄν τις πειρᾶσθαι βούλοιτο· ὥστε εἰ τὰ ἄναιμα ζῷα οὐκ ἀναπνεῖ, δοκοῦσιν ἔχειν ἑτέραν τινὰ αἴσθησιν

παρὰ τὴν ὄσφρησιν καὶ τὰς ἄλλας αἰσθήσεις τὰς εἰρημένας ἐπὶ τοῦ ἀνθρώπου.

Ἀλλ' ἀδύνατον. Ἐνταῦθα ἀντιτίθησιν εἰς τοὐναντίον δυσὶ λόγοις, ὧν ὁ πρῶτος τοιοῦτός τίς ἐστιν, ὅτι αἱ αἰσθήσεις διακρίνονται κατὰ τὰ αἰσθητά. Ὅθεν, ἐπεὶ ἡ κατὰ τὴν ὄσφρησιν αἴσθησις ἐστὶν αἴσθησις τοῦ ὀσφραντοῦ, δηλονότι τοῦ εὐώδους καὶ δυσώδους, καὶ τοῦτο κοινῶς ὑποπίπτει τῇ αἰσθήσει, οὕτω τῇ τοῦ ἀνθρώπου ὥσπερ τῇ τῶν ἄλλων ζῴων τῶν οὐκ ἀναπνεόντων, ἕπεται τὴν αὐτὴν αἴσθησιν τῆς ὀσφρήσεως εἶναι ἔν τε τῷ ἀνθρώπῳ καὶ ἐν ἐκείνοις. Ὁ δὲ λοιπὸς λόγος ἐστὶν ὅτι τῆς αὐτῆς αἰσθήσεως τὰ αὐτὰ εἰσὶ φθαρτικά· οὐ γὰρ ἡ ὄψις πάσχει τι ὑπὸ τοῦ ψόφου, οὐδὲ ἡ ἀκοὴ ὑπὸ τῶν χρωμάτων, ἀλλ' αἱ αἰσθήσεις τῶν ζῴων τῶν μὴ ἀναπνεόντων φαίνονται φθείρεσθαι ὑπὸ τῶν βαρειῶν ὀσμῶν καὶ σφοδρῶν, ἐξ ὧν ἡ τοῦ ἀνθρώπου αἴσθησις φθείρεται, δηλονότι ἀσφάλτου καὶ θείου καὶ τῶν τοιούτων. Καὶ τὰ λοιπὰ ἄρα ζῷα ἔχουσι τὴν αἴσθησιν τῆς ὀσφρήσεως, ὥσπερ καὶ ὁ ἄνθρωπος, κἂν μὴ ἀναπνέῃ.

Ἔοικε δὲ τοῖς ἀνθρώποις. Ἐνταῦθα λύει τὸ ζήτημα, διότι αὕτη ἡ διαφορότης ἐν τῷ τοῦ ἀναπνεῖν τρόπῳ οὐκ ἐκ τῆς διαφορότητος τῆς αἰσθήσεως ἐστίν, ἀλλ' ἐκ τῆς διαφόρου διαθέσεως τοῦ ὀργάνου· τὸ γὰρ ὄργανον τῆς ὀσφρήσεως ἐν τῷ ἀνθρώπῳ διαφέρει τῶν ὀργάνων τῶν ἄλλων ζῴων, ὥσπερ οἱ τοῦ ἀνθρώπου ὀφθαλμοὶ διαφέρουσι πρὸς τοὺς ὀφθαλμοὺς τῶν σκληροφθάλμων ζῴων. Οἱ γὰρ ὀφθαλμοὶ τοῦ ἀνθρώπου ἔχουσί τι φράγμα καὶ ὥσπερ ἔλυτρον πρὸς τὸ περικαλύπτειν τὰ βλέφαρα· ὅθεν ὁ ἄνθρωπος οὐ δύναται βλέπειν, ἂν μή τινι κινήσει ἀνασπάσῃ τὰ βλέφαρα, ὅπερ οὐ συμβαίνει τοῖς σκληροφθάλμοις ζῴοις, ἀλλ' αὐτίκα ὁρῶσιν ἐκεῖνα, ὧν τὰ εἴδη εἰσὶν ἐν τῷ διαφανεῖ. Οὕτως οὖν κἂν τοῖς ἄλλοις ζῴοις τοῖς μὴ ἀναπνέουσι τὸ τῆς ὀσφρήσεως ὄργανον ἐστὶν ἄνευ καλύμματος· ἀλλ' ἐν τοῖς ἀναπνέουσι ζῴοις ἔχουσί τι κάλυμμα, ὅπερ ἀνακαλύπτεσθαι δεῖ, εὐρυνομένων τῶν πόρων διὰ τῆς ἀναπνοῆς. Καὶ διὰ τοῦτο τὰ ἀναπνέοντα ζῷα οὐκ ὀσμῶνται ἐν τῷ ὕδατι· ἀνάγκη γὰρ παθεῖν ὑπὸ τῆς ὀσμῆς ἀναπνεύσαντα, ὅπερ οὐ δύναται γίνεσθαι ἐν τῷ ὕδατι.

Ἔστι δὲ ἡ ὀσμὴ τοῦ ξηροῦ. Ἐνταῦθα διορίζεται περὶ τοῦ ὀργάνου τῆς ὀσφρήσεως, καὶ φησὶν ὅτι ἡ ὀσμὴ θεμελιοῦται ἐν τῷ ξηρῷ, ὥσπερ ὁ χυμὸς ἐν τῳ ὑγρῷ· τὸ δὲ ὄργανον τῆς ὀσφρήσεως δεῖ εἶναι ἐν δυνάμει πρὸς τὴν ὀσμὴν καὶ πρὸς τὸ ξηρόν, ὥσπερ τὸ τῆς ὄψεως ὄργανόν ἐστιν ἐν δυνάμει πρός τε τὰ χρώματα καὶ πρὸς τὸ φῶς.

---

9 *δὲ* om B  12 *φαίνεται* A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006